www.tezaurliturgic.ro

# ΙΟΥΝΙΟΥ ΚΕ΄
# ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΕΘΟΔΙΟΥ ΤΟΥ ΕΝ ΝΗΒΡΥΤΩ, ΑΣΚΗΣΑΝΤΟΣ*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε οὖν συνέλθωμεν, Κρητῶν ἁπάντων συστήματα, καὶ τὰς χεῖρας κροτήσωμεν, τελοῦντες ἐν ᾄσμασι, τοῦ ἐν τῇ Νηβρύτῳ, ἀσκήσει ὁσίᾳ, εὐαρεστήσαντος Θεῷ, τὴν ἐπιλάμψασαν μνήμην σήμερον, καὶ πίστει ἐκβοήσωμεν· ἡγιασμένε Μεθόδιε, τὸν Δεσπότην ἱκέτευε, ἵνα εὕρωμεν ἔλεος.

Κόσμου τὴν προσπάθειαν, ὡς νουνεχὴς παρωσάμενος, τῷ Χριστῷ ἠκολούθησας, καὶ πόνοις ἀσκήσεως, τῶν παθῶν τὸν σάλον, Μεθόδιε στήσας, τῆς ἀπαθείας στολισμόν, τὸν μὴ φθειρόμενον περιβέβλησαι, καὶ ὅλος ὑπὲρ ἔννοιαν, ἠγλαϊσμένος ἐσκήνωσας, ἔνθα πάτερ τὰ τάγματα, τῶν Ἁγίων εὐφραίνονται.

Θείῳ κυβερνώμενος, ἱστίῳ πάτερ τοῦ Πνεύματος, τὸν λιμένα κατέλαβες, Χριστοῦ τὸν ἀκύμαντον, ἔνθα τῷ τῆς δόξης, φωτὶ συνεκράθης, ὡς ἐπὶ γῆς φωτοειδῆ, βίον ἀσκήσει ἐπιδειξάμενος· διὸ πάτερ Μεθόδιε, τὸν φωτισμὸν ἡμῖν αἴτησαι, τοῖς πιστῶς εὐφημοῦσί σου, τὰ λαμπρὰ κατορθώματα.

Μάχαιραν ὡς δίστομον, τὸν τοῦ Θεοῦ ὁπλισάμενος, φόβον πάτερ Μεθόδιε, Βελίαρ κατέβαλες, ἀνδρικῶς τὰ στίφη, καὶ νίκης στεφάνους, ἀναδησάμενος λαμπρῶς, Θεῷ παρέστης τῷ Παντοκράτορι· ᾧ πρέσβευε μακάριε, τοῖς εὐσεβάστως τιμῶσί σε, δωρηθῆναι ὡς εὔσπλαγχνος, τῶν πταισμάτων τὴν ἄφεσιν.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Ὅσιε πάτερ, τῶν παθῶν τὰς ἀκάνθας, ἀσκητικῇ ἀξίνῃ ῥιζοτομήσας, ὡραῖον τῆς εὐσεβείας, ἀνεδείχθης γεώργιον, καρποφορίαν ἀγαθὴν τῆς

---

* Ἡ Ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν Μεθοδίου τοῦ ἐν Νηβρύτῳ ἐποιήθη ἐν ἔτει 1994, ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη, αἰτήσει τοῦ ἐκ τῶν Ἀδελφῶν τῆς Ἱερᾶς Μονῆς Ἀγκαράθου, Ἀρχιμανδρίτου Μεθοδίου Βερνιδάκη. Προσετέθη δὲ ἐν τῷ Ὄρθρῳ εἷς Κανὼν ὡς β΄, συνταχθεὶς ὑπὸ τοῦ ἐλλογ. κ. Δημητρίου Δασκαλάκη, φιλολόγου, ὁ δὲ γ΄ Κανών, χαρακτηριζόμενος ὡς πανηγυρικός, συνετάχθη τῇ προτροπῇ τοῦ Ἀρχιμανδρίτου Χρυσοστόμου Παπαδάκη, ἵνα ψάλληται, ἐὰν βούληται ὁ προεστώς, μετὰ τῶν Χαιρετιστηρίων Οἴκων τοῦ Ὁσίου.

www.tezaurliturgic.ro



ἀπαθείας, τοὺς ἀφθάρτους στάχυας προβαλλόμενος. Ὅθεν Μεθόδιε μακάριε, ὁ οὐράνιος εὐαρεστηθεὶς γεωργός, ἐν σοὶ ἀληθῶς ἐπανεπαύσατο, Χριστὸς ὁ φιλάνθρωπος, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δόξαν τὴν ἐν Χριστῷ, θερμῶς ἐπιποθήσας, σαρκὸς τὰς ἀπολαύσεις, ἐμίσησας τελείως, Μεθόδιε ὡς πάνσοφος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Βίου τὰς λυπηράς, κατέλιπες φροντίδας, Μεθόδιε παμμάκαρ, καὶ ἐν σαρκὶ Ἀγγέλων, τὸν βίον πεπολίτευσαι.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

Πάσας τοῦ δυσμενοῦς, αἰσχύνας μεθοδείας, Μεθόδιε παμμάκαρ, τὴν ἄνοδόν σου ἔσχες, πρὸς οὐρανὸν ἀπρόσκοπτον.

Δόξα Πατρί. Τριαδικόν.

Δόξα σοι ὁ Θεός, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Τριὰς ἡ Παναγία, ἐλέησον τὸν κόσμον, πρεσβείαις τοῦ Ὁσίου σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, ἠφάνισας τῆς Εὔας, τὸ ὄνειδος τεκοῦσα, τὸν ἕνα τῆς Τριάδος, σαρκὶ δι' ἀγαθότητα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῶν Ὁσίων τὴν ἔνθεον, βιοτὴν μιμησάμενος, ἐν Νηβρύτῳ ἔζησας ὥσπερ Ἄγγελος, καὶ ἰσαγγέλου ἐπέτυχες, Μεθόδιε στάσεως, ἀναλύσας τῶν φθαρτῶν, καὶ φωτὸς τῆς θεώσεως, ἔνδον γέγονας, μνημονεύων ἀπαύστως τῶν τελούντων, ἱεροῖς ἐν ἐγκωμίοις, τὴν φωταυγῆ σου πανήγυριν.

Ἀγαπήσας τὸν Κύριον, μανικῶς ἐκ νεότητος, κοσμικὴν κατέλιπες ματαιότητα, καὶ δι' ὁσίας ἀσκήσεως, τελείως ἐνέκρωσας, τὰς κινήσεις τῆς σαρκός, θεομάκαρ Μεθόδιε· ὅθεν εἴληφας, ἀπαθείας τὴν χάριν οὐρανόθεν, καὶ χιτῶνα ἠμφιέσω, τῆς ζωηφόρου νεκρώσεως.

Εἰς οὐδὲν ἡγησάμενος, τὰς προσκαίρους τερπνότητας, τὸν Σταυρὸν ἀνέλαβες ἐπωμάδιον, Χριστοῦ τῷ λόγῳ Μεθόδιε, ὑπείκων ὡς πάνσοφος, καὶ τοῖς ἴχνεσι αὐτοῦ, ἀκριβῶς ἠκολούθησας, τὸ σαρκίον σου, ἐγκρατείᾳ στεῤῥᾷ ὑποπιάζων, καὶ ῥωννύμενος ἐλπίδι, τῆς ἐν Ἐδὲμ καταπαύσεως.

Ἕτερα. Ἦχος πλ. α΄. Ὅσιε πάτερ.

Ὅσιε πάτερ, ἱερώτατε Μεθόδιε, τοῦ κόσμου τῆς ἀπάτης, ὡς νουνεχὴς μακρυνθείς, ἐν ὄρεσιν ηὐλίσθης καὶ ἐρημίαις, ἔνθα ἠρίστευσας, ἀσκήσας στεῤῥῶς· ἔνθεν ὑπεδέξω, τοῦ Πνεύματος τὴν χάριν, Χριστοῦ θεόφρον τῇ δωρεᾷ, τοῦ ἐκ Παρθένου ἀφράστως σαρκωθέντος, καὶ ἀνατείλαντος τὸ ἄδυτον ἐν κόσμῳ, φέγγος τῆς γνώσεως, ὡς ἥλιος τῆς δόξης. Αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

Ὅσιε πάτερ, παμμακάριστε Μεθόδιε, παθῶν ἐπαναστάσεις, καταβαλὼν ἀνδρικῶς, τοῖς πόνοις τοῖς ἀτρύτοις τῆς ἐγκρατείας, ὤφθης περίδοξος, σοφὲ νικητής, καὶ τῆς ἀπαθείας τὴν χάριν ὑπεδέξω, ζωαρχικῇ τοῦ Κυρίου μάκαρ παλάμῃ, τοῦ καταργήσαντος τὸ κράτος τοῦ θανάτου, καὶ τὴν Ἀνάστασιν, ἡμῖν δωρησαμένου. Αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει πάντοτε, δωρηθῆναι τῇ οἰκουμένῃ, ὁμόνοιαν εἰρήνην καὶ μέγα ἔλεος.

Ὅσιε πάτερ, πανασίδιμε Μεθόδιε, τὸ βλάστημα τῆς Κρήτης, ὁ τῆς Νηβρύτου φωστήρ, ἀζύγων τε ὁ λύχνος ὁ φωτοβόλος· σκεῦος πολύτιμον σεπτῶν δωρεῶν, στήλη εὐσεβείας, κανών τε ἐγκρατείας· θαυμάτων ξένων ὁ ποταμός, ὁ καταρδεύων τοὺς πόθῳ προστρέχοντάς σοι· κρήνη τῆς χάριτος, ἡ ὄντως πολυχεύμων, ψυχὰς πιαίνουσα, ἀεὶ τῶν ὑμνητῶν σου. Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει

www.tezaurliturgic.ro

῞Οσιε, δωρηθῆναι τῇ σῇ πατρίδι, εὐστάθειαν εἰρήνην καὶ θεῖον ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τῶν ἀσκητῶν τὴν καλλονήν, καὶ τῶν Ὁσίων κλέος, Μεθόδιον τὸν οὐράνιον ἄνθρωπον, τὸν ἀληθῶς δι᾽ ἀνενδότου ἀσκήσεως, Ἀγγέλων τὴν ζωὴν μιμησάμενον, τῶν φιλοσίων εὐσεβῶν αἱ χορεῖαι, ἐν ὕμνοις τιμήσωμεν κράζοντες· χαίροις ὁ δι᾽ ἀγάπης ἀκραιφνοῦς, τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ μισήσας, καὶ Θεῷ ὁλοτρόπῳ ἐφέσει, ταῖς ἀρεταῖς σου ἀκολουθήσας· χαίροις ὁ διὰ πίστεως ἀληθοῦς, κατὰ τοῦ δολίου ἐχθροῦ χωρήσας, καὶ αὐτοῦ τὰς πολυπλόκους μηχανάς, ἀσκητικῶς καταπατήσας· χαίροις ὁ τοῖς ἔργοις τοῦ φωτός, στήλη ὀφθεὶς τῶν ἀρετῶν, ἐστηριγμένη ἐν Νηβρύτῳ, καὶ πᾶσαν τὴν Κρήτην καταυγάζουσα. Ἀλλ᾽ ὦ τρισμακαριώτατε Πάτερ, ὡς παῤῥησίαν πλουτήσας πολλήν, τὸν ἐν Τριάδι Θεὸν ὑπὲρ ἡμῶν, δεόμεθά σου ἱκέτευε, ἵνα τύχωμεν διὰ σοῦ, τῶν μελλόντων ἀγαθῶν τῆς ἀπολαύσεως.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον τῆς χάριτος, ἡ δὲ Παρθένος τὸν Κύριον τῆς δόξης. Ἠσπάσαντο ἀλλήλας αἱ μητέρες, καὶ τὸ βρέφος ἐσκίρτησεν· ἔνδοθεν γὰρ ὁ δοῦλος ᾔνει τὸν Δεσπότην. Θαυμάσασα ἡ μήτηρ τοῦ Προδρόμου, ἤρξατο βοᾶν· Πόθεν μοι τοῦτο, ἵνα ἡ Μήτηρ τοῦ Κυρίου μου ἔλθῃ πρός με; ἵνα σώσῃ λαὸν ἀπεγνωσμένον. Ὁ ἔχων τὸ μέγα ἔλεος δόξα σοι.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄ 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. ε΄ 5-15, στ΄ 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄ 7)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις

www.tezaurliturgic.ro



αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Τὸ οὐράνιον κλέος τῶν ἀσκητῶν, καὶ ἄφθιτον κλέος τῶν μοναζόντων, τὸν ἐν Νηβρύτῳ στεῤῥῶς ἀγωνισάμενον, Μεθόδιον τὸν ἔνδοξον, ἐν ἐγκωμίοις φαιδροῖς μακαρίσωμεν. Οὗτος γὰρ ἄγῶσι ἀσκητικοῖς, τὴν δυσήνιον σάρκα νικήσας, ὄντως τὴν φύσιν ἐνίκησε· τὴν δὲ φύσιν νικήσας, ὑπὲρ τὴν φύσιν ἐγένετο· καὶ λοιπὸν ἠλάττωται, βραχύ τι παρ' Ἀγγέλους, καὶ ἰσαγγέλου ἠξίωται στάσεως, δόξῃ καὶ τιμῇ στεφανωθείς, σὺν τῶν ἀπ' αἰώνων Ὁσίων ταῖς τάξεσι· μεθ' ὧν ἀπαύστως πρεσβεύει, τῷ εὐϊλάτῳ Κυρίῳ, Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος ὁ αὐτός.

Οὐρανόθεν ὑπεδέξω, ἀφθαρσίας τοὺς στεφάνους, ἀσκητικαῖς σου ἀριστείαις, μακάριε Μεθόδιε· τῷ οὐρανίῳ γὰρ βασιλεῖ στρατευσάμενος, ἐν τοῖς ὅπλοις ὡς γέγραπται τοῦ φωτός, τὸν ἰσχυρὸν ἐν κακίᾳ πολέμιον, νικητικῶς κατετρόπωσας. Αὐτοῦ οὖν Πάτερ τῆς δολίας κακίας, καὶ ψυχοκτόνου μήνιδος, ἀνωτέρους συντήρει πρεσβείαις σου, τοὺς εὐλαβῶς σε γεραίροντας.

Ἦχος β΄.

Εὐφραίνου Μεθόδιε, ἀσκητὰ πολυθρύλητε, Νηβρύτου τὸ καύχημα, ὅτι ἡ ἐν ἀσκήσει ὑπομονή σου, τελειότατον ἔργον σχοῦσα, τῆς ψυχῆς σου τὸ κτῆμα διέσωσεν, ὑπομονὴ οὐκ ἐν ἀσθενείᾳ μόνον γνωριζομένη, ἀλλὰ καὶ ἐν πειρασμοῖς δοκιμαζομένη· ἣν δὸς εὐχαῖς σου καὶ ἡμῖν, τοῖς διαπλέουσι τοῦ παρόντος, βίου τὴν θάλασσαν, καὶ ὕμνοις εὐφημοῦσί σε.

Ἦχος ὁ αὐτός.

Τοῦ φωτὸς τὸ καθαρὸν ἐνδιαίτημα, καὶ δοχεῖον εὐρύχωρον τοῦ Παρακλήτου, τῶν ἰαμάτων τὸν πολυχεύμονα ποταμόν, Μεθόδιον τὸν θαυμασιώτατον, ἐν ἐγκωμίοις οἱ πιστοὶ τιμήσωμεν· ἀσκητικαῖς γὰρ ἀριστείαις, μεγαλύνας ἐπὶ γῆς τὸν Θεόν, παρ' αὐτοῦ μεγάλως ἐδοξάσθη, ἐν τῷ νυμφῶνι τῆς ζωῆς. Ὅθεν ἐκ τῶν λειψάνων αὐτοῦ, ὡς κρήνη ἀείρροος πηγάζει, τῶν θαυμάτων τὰ παράδοξα, πρὸς θεραπείαν παντοίων παθῶν, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τὴν ἐν Χριστῷ ἑλόμενος ζωήν, τοῖς ἐν κόσμῳ ἀπεῖπας τὸ Χαῖρε, ὡς πλήρης θείας συνέσεως, Μεθόδιε πάτερ ὅσιε· καὶ τὸ σπήλαιον οἰκήσας, ὥσπερ θάλαμον φωτός, τῆς ἐγκρατείας τοῖς ἀτρύτοις ἄγῶσι, τῆς σαρκὸς τὸ φρόνημα ἐνέκρωσας, καὶ τὸ χεῖρον τῷ κρείττονι ὑπέταξας. Ὅθεν τοῦ Πνεύματος τὴν χάριν δεξάμενος, ἐν μονασταῖς ἐγένου ἐπίσημος, καὶ τῶν Ἀγγέλων τὰ τάγματα ἔφθασας, πρεσβεύων τῷ Θεῷ ἐκτενῶς, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Μωϋσέως τὸ πρᾶον, ὡς ἐχέφρων μιμησάμενος, Μεθόδιε μακάριε, τὴν καρδίαν ἀκρότομον οὖσαν, εἰς λίμνας ὑδάτων μετέβαλες· διὸ ἐν ἀγαλλιάσει καρδίας, ψαλμικῶς ἀνεκραύγαζες· ἐπὶ ὕδατος ἀναπαύσεως, ἐξέθρεψέ με, Κύριος ὁ Θεός μου. Αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει Ὅσιε, δωρηθῆναι τοῖς πιστῶς σε γεραίρουσι, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, ἀναπτερούμενος τῷ νοΐ, πρὸς τῶν ἐφετῶν τὸ ἀκρότατον, πάντων κατεφρόνησας, τῶν ἐπὶ γῆς πραγμάτων· σκύβαλα ἡγήσω νουνεχῶς, τὰς ἐπικήρους ἀπολαύσεις, τῶν διαμενόντων ἀγαθῶν, τὴν κτῆσιν ἐπιποθήσας· διὸ ἔξω κόσμου καὶ σαρκὸς γεγονώς, ἀσκητικῶς τῷ Χριστῷ ἠκολούθησας, Μεθόδιε μακάριε, οὗ καὶ τῆς θέας ἀμέσως κατηξίωσαι, ὁσίως τῶν τῇδε ἀναλύσας. Αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει ἔνδοξε, δωρηθῆναι τῇ οἰκουμένῃ τὴν εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τῇ ἀγάπῃ Χριστοῦ, κατατρωθεὶς ὁλοσχερῶς τὴν καρδίαν σου, καὶ πάντων τῶν ἐν τῷ κόσμῳ, καταφρονήσας τερπνῶν, ὡς διαπιπτόντων Πάτερ ὅσιε· Ἀγγέλων συνόμιλε, Προφητῶν ἰσοστάσιε, τῶν Ἀθλοφόρων, ἐν ὑψίστοις συνόμιλε, Ἀποστόλων τε καὶ Ὁσίων συμμέτοχε· ἄνερ Θεοῦ Μεθόδιε, ἐπίγειε Ἄγγελε, ὁ στεφανίτης τῆς ἄνω, τῶν ἐκλεκτῶν παρατάξεως. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος...

Χαίροις τῆς Κρήτης θεῖος βλαστός, κώμης Νηβρύτου τὸ οὐράνιον καύχημα, ἡ λύρα τῆς ἐγκρατείας, ἡ μελῳδοῦσα ἡμῖν, σωτηρίας μέλος τὸ ἡδύτατον· ἀγάπης ὑπόδειγμα, ἀληθείας εἰκόνισμα, ἀστὴρ ἐλπίδος, ταπεινώσεως ἄγαλμα, ἱλαρότητος, θεοδόμητον τέμενος· ἄστρον τὸ οὐρανόφωτον, τῆς αἴγλης τοῦ Πνεύματος, καὶ θεϊκῆς ἐνεργείας, πάτερ Μεθόδιε ὄργανον. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

Χαίρων τοῦ Λυτρωτοῦ τὸν Σταυρόν, ἀναλαβὼν ὡς νουνεχὴς ἐπωμάδιον, διήνυσας θεοφρόνως, τὴν τεθλιμμένην ὁδόν, τοῦ ἐχθροῦ μὴ πτήξας τὰ προσκόμματα· καὶ ἤρθης τῷ ἅρματι, τῶν ὁσίων ἀγώνων σου, ὄντως πρὸς ὕψος, ἀρετῶν τὸ μετάρσιον, καὶ ἀπέλαβες, τὸν ἀκήρατον στέφανον. Ὅθεν σου τὴν πανήγυριν, τελοῦντες τὴν πάντιμον, μετ' εὐφροσύνης σοι πάντες, βοῶμεν πάτερ Μεθόδιε· Χριστὸν ἱκετεύων, μὴ ἐλλίπῃς ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Ὅσιε πάτερ, Μεθόδιε μακάριε, τίς σε κατ' ἀξίαν ἐπαινέσει; ἢ τίς δυνήσεται ἀληθῶς, ἐξειπεῖν τῆς ζωῆς σου, τὰ θαυμαστὰ προτερήματα; Χριστὸν γὰρ ἀγαπήσας, κόσμου καταφρονήσας, διὰ πίστεως μεγάλης καὶ ἔργων ἀσκητικῶν, τῆς ψυχῆς τὰ ταμεῖα διηύρυνας, καὶ ἐγένου δοχεῖον τῆς χάριτος τοῦ Πνεύματος· διὸ καὶ ἐν καιρῷ τῆς ἐξόδου σου, ὅτε πανδημεὶ σοι παρέστησαν, οἱ ἐν Νηβρύτῳ εὐσεβεῖς, ὑπὲρ ἥλιον τὸ πρόσωπόν σου ἐπέλαμψε, τῆς ψυχῆς σου ἐκφαίνων τὴν κατάστασιν, καὶ μαρτυρούμενος τῷ φωτί, οἵας δόξης ἐπέτυχες ἄνωθεν. Ἀλλ' ὦ Πάτερ πολυθαύμαστε, ὡς παρεστὼς ἐν ὑψίστοις, τῇ τρισηλίῳ Θεότητι, τὸν φωτισμὸν ἡμῖν αἴτει τοῖς τιμῶσί σε.

Καὶ νῦν. Θεοτοκίον.

Βλέπε τὴν Ἐλισάβετ, πρὸς τὴν Παρθένον Μαριὰμ διαλεγομένην· Τί παραγέγονας πρός με, ἡ Μήτηρ τοῦ Κυρίου μου; σὺ βασιλέα βαστάζεις, κἀγὼ στρατιώτην· σὺ τὸν νομοδότην, κἀγὼ τὸν ὑπηρέτην· σὺ τὸν λόγον, κἀγὼ τὴν φωνήν, τὴν κηρύξασαν τὴν βασιλείαν τῶν οὐρανῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἐκ Νηβρύτου ὡς ἄστρον, πολιτείας τῆς κρείττονος, δι' ἀσκητικῆς συντονίας, μυστικῶς ἐξανέτειλας, φαιδρύνων τὰς χορείας τῶν Κρητῶν, αὐγαῖς θεουργικῶν σου ἀρετῶν, καὶ θαυμάτων ἀγλαΐαις, ἡγιασμένε Μεθόδιε. Δόξα τῷ σὲ ἰσχύσαντι Χριστῷ, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, χάριν ἀέναον.

Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῶν Ὁσίων τοὺς τρόπους, ἐκμιμησάμενος, ἐν τῇ Νηβρύτῳ μετῆλθες, ἀσκητικὴν βιοτήν, καὶ μετέστης πρὸς σκηνὴν ἀχειροποίητον, ἔνθα Χριστοῦ ἀξιωθεὶς, τῆς παραστάδος εὐκλεῶς, Μεθόδιε θεομάκαρ, ἐκ τῶν λειψάνων σου βλύζεις, ἡμῖν ἀπαύστως χάριν ἄφθονον.

Καὶ τοῦ Προδρόμου. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Προφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε, οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε· στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύττεται.

Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἐδὲμ ἐπόθησας, τὴν ὡραιότητα, κόσμου ἐμίσησας, τὴν ματαιότητα, ὡς τοῦ Σωτῆρος ἐραστής, Μεθόδιε μακάριε, καὶ τοῖς ὑπὲρ ἄνθρωπον, ἐν ἀσκήσει ἀγῶσί σου, ἐπὶ γῆς διήνυσας, βιοτὴν

www.tezaurliturgic.ro



ἀγγελότροπον· διὸ νῦν σὺν Ἀγγέλοις χορεύεις, ἐν ταῖς σκηναῖς τῶν πρωτοτόκων.

Δόξα Πατρί. Ὅμοιον.

Νόμῳ ἑπόμενος, τῷ θείῳ Ὅσιε, κόσμου κατέλιπες, πᾶσαν ἀπόλαυσιν, καὶ ἠκολούθησας Χριστοῦ, τοῖς ἴχνεσιν ἀνενδότως. Ὅθεν ὁ φιλάνθρωπος, ὡς φωστῆρα λαμπρότατον, κόσμῳ σε ἀνέδειξε, εὐσεβείας καὶ πίστεως· ᾧ πρέσβευε Μεθόδιε πάτερ, δοῦναι ἡμῖν πταισμάτων λύσιν.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς θρόνος πύρινος, ἐν ταῖς ἀγκάλαις σου, φέρεις τὸν Κύριον, πάσης τῆς κτίσεως, δι᾽ ἀγαθότητα πολλήν, καὶ ἔλεος Θεοτόκε. Ὅθεν ἱκετεύομεν, τῶν παθῶν τῆς φαυλότητος, ῥῦσαι τοὺς ἱκέτας σου, ὡς συμπάθειαν ἔχουσα, πιστῶς ἵνα βοῶμέν σοι Μῆτερ· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ´. Ταχὺ προκατάλαβε.

Σαρκὸς τὴν εὐπάθειαν, ἀσκητικαῖς ἀγωγαῖς, νεκρώσας ἀπάθειαν, ἐκτήσω ὄντως ψυχῆς, τελείαν Μεθόδιε. Ὅθεν ἐν σοὶ πλουσίως, ἐξεχύθη ἡ χάρις, θαύμασι μαρτυροῦσα, ἐκλεκτόν σε Κυρίῳ, γενόμενον ὦ Πάτερ σοφέ· διό σε γεραίρομεν.

Δόξα Πατρί. Ὅμοιον.

Φωστὴρ ὡς ὑπέρλαμπρος, ἐκ τῆς Νηβρύτου ἡμῖν, ἀνέτειλε σήμερον, ὁ ἀσκητὴς τοῦ Χριστοῦ, ὁ μέγας Μεθόδιος, λάμψεσι τῶν θαυμάτων, μυστικῶς καταυγάζων, πάντας τοὺς εὐφημοῦντας, τοὺς ὁσίους ἀγῶνας, δι᾽ ὧν τὸν παλαμναῖον, εἰς τέλος ἐνίκησεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀφράστως ἐκύησας, τὸν Ποιητὴν τοῦ παντός, δι᾽ ἔλεος ἄφατον, καὶ εὐσπλαγχνίαν πολλήν, γενόμενον ἄνθρωπον, ὅνπερ σὺν Μεθοδίῳ, τῷ ἐνδόξῳ ὁσίῳ, Δέσποινα ἐκδυσώπει, ἵνα εὕρωμεν πάντες, οἱ πόθῳ σε τιμῶντες, ζωὴν τὴν ἀκήρατον.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Τῶν παθῶν κατασβέσας, τὰ ὑπεκαύματα, ἐγκρατείας τῇ δρόσῳ, τὴν φωτοφόρον στολήν, τῆς θεώσεως ἐνδέδυσαι Μεθόδιε, καὶ προσεχώρησας φαιδρῶς, εἰς τοὺς θαλάμους τῆς ζωῆς, ἔνθα Κυρίῳ παρέστης, ὑπὲρ ἡμῶν ἱκετεύων, τῶν πεποιθότων τῇ πρεσβείᾳ σου.

Δόξα Πατρί. Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Τῆς Νηβρύτου σήμερον, ὁ πολιοῦχος, ὁ κλεινὸς Μεθόδιος, ἀνευφημείσθω ἐν ᾠδαῖς, ὅτι ἐν κόσμῳ ὡς ἄσαρκος, δι᾽ ἀρετῆς ἱερῶς πεπολίτευται.

Καὶ νῦν. Θεοτοκίον.

Παναγία Δέσποινα, εὐλογημένη, τὰς δεήσεις πρόσδεξαι, τῶν ταπεινῶν σου ἱκετῶν, καὶ αὐτοῖς δίδου τὰ πρόσφορα, ἐν παῤῥησίᾳ Χριστὸν ἱκετεύουσα.

Εἶτα, οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ζήτει τῇ ιζ´ Ἰανουαρίου.

Ὁ Ν´. Δόξα Πατρί. Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β´.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ὅσιε πάτερ Μεθόδιε, διὰ μνήμης θανάτου, νέκρωσιν ζωηφόρον ἐνδυσάμενος, τῆς ἀνεκφράστου ζωῆς, τὰ ἀγαθὰ ἐκληρώσω· διὸ τῶν λειψάνων σου ἡ θήκη, ἀναπηγάζει ὡς κρήνη ἰάματα, ἡ δὲ πρεσβεία σου πρὸς Θεόν, κινδύνων ἡμᾶς διασῴζει, καὶ πάσης κακοπραγίας καὶ θλίψεως. Ὅθεν εὐφημοῦμέν σε, τὴν μνήμην σου τελοῦντες πιστῶς, καὶ δοξάζομεν τὸν ἐν Τριάδι Θεόν, τὸν θαυμαστῶς σε δοξάσαντα.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα, ὁ Κανὼν τοῦ Προδρόμου καὶ οἱ Κανόνες τοῦ Ὁσίου. Κανὼν πρῶτος τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλ(λ)ου Κ.».

Ὠδὴ α´. Ἦχος πλ. α´. Τῷ Σωτῆρι Θεῷ.

Τῷ Σωτῆρι Χριστῷ, ἐν τοῖς ὑψίστοις φαιδρῶς, θεόφρον πάτερ παριστάμενος, λόγον μοι αἴτει συμπαθῶς, ὡς ἂν ὑμνήσω σε, τὸν λύχνον Μεθόδιε, τῆς κατανύξεως.

Ἀγαπήσας Χριστόν, τὰ ἐν τῷ κόσμῳ τερπνά, νοΐ τελείῳ καταλέλοιπας, καὶ βιοτῇ ἀσκητικῇ πάτερ Μεθόδιε, ἡλίου φαιδρότερον, κόσμῳ ἐξή-

www.tezaurliturgic.ro

στραψας.

Τοῖς προσκαίροις εἰπών, τὸ Χαῖρε ὅλῃ ψυχῇ, τῆς ἀφθαρσίας τὴν ἀκήρατον, χαίρων ὁδὸν ἀσκητικῶς θεῖε Μεθόδιε, ἀξίως πεπόρευσαι, ὡς νουνεχέστατος.

Θεοτοκίον.

Κόρη μόνη ἁγνή, τῷ ἀπειράνδρως ἐκ σοῦ, σωματωθέντι καὶ πηγάσαντι, τὴν ἀφθαρσίαν τοῖς βροτοῖς, ἀπαύστως πρέσβευε, κολάσεως ῥύσασθαι, τοὺς σὲ γεραίροντας.

Κανὼν δεύτερος τοῦ Ὁσίου ἄνευ Ἀκροστιχίδος. Ποίημα Δημητρίου.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἀπὸ χειλέων ἀκαθάρτων αἴνεσιν, τολμῶν ἐξάδω σοι νῦν, ἐκ τοῦ πρὸς σὲ φίλτρου, θάῤῥος προσλαβόμενος, καὶ ἐξ ἀγάπης δύναμιν, ὦ Μεθόδιε πάτερ, σὺ δὲ συγγνώμην παράσχου μοι, ὕμνοις ἐγχειροῦντι γεραίρειν σε.

Ἐπαγρυπνῶν καὶ γρηγορῶν Μεθόδιε, καὶ ἀνυστάκτῳ νοΐ, θείας ἀναβάσεις, ἐν καρδίᾳ θέμενος, ὁλολαμπὴς γεγένησαι, καὶ φωτίζεις Νηβρύτου, πιστὸν λαὸν ἐκλυτρούμενος, τοῦτον ἐκ παντοίων κακώσεων.

Σαῖς μυριπνόοις διδαχαῖς μακάριε, πιστοὺς διδάσκεις σοφῶς, τὰς ἡδονὰς φεύγειν, τὰς δυσώδεις πάντοτε, καὶ ἀρετῆς τὴν κλίμακα, ἐν ἱδρῶσι καὶ κόποις, σὺ ἀναβαίνειν προτρέπεις δή, πάντας εἰς Θεὸν ὄντως ἄγουσαν.

Θεοτοκίον.

Αἰχμαλωσίας τῆς δεινῆς διέσωσας, πάντας ἀνθρώπους ἁγνή, τὸν Λυτρωτὴν τούτων, ἀνωδύνως τέξασα, τὸν σωτηρίαν ἅπασι, παρασχόντα Παρθένε, πιστοῖς προθύμως τοῖς κράζουσιν· ἵλαθι ἡμῖν εὐδιάλλακτε.

Κανὼν τρίτος τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ ᾄσω μελῴδημα, τῷ τοῦ Χριστοῦ ἀσκητῇ, καὶ ὀφθήσομαι, αὐτοῦ ἀνακηρύττων, τοῦ βίου τὴν ἔνθεον, ὄντως λαμπρότητα.

Χριστοῦ ὁ οὐράνιος, χαῖρε θεράπων Μεθόδιε· τῆς Κρήτης τὸ βλάστημα, χαῖρε τὸ ὄντως τερπνόν· χαῖρε κλέϊσμα, ὁσίων μοναζόντων, ἀζύγων τε καύχημα, τὸ πολυθαύμαστον.

Εὐκλείας τῆς ἄνωθεν, χαῖρε τὸ ἔμψυχον ἄγαλμα· συντόνου ἀσκήσεως, χαῖρε ὁ μέγας ἀστήρ· χαῖρε ἔνδοξε, Μεθόδιε παμμάκαρ, λαμπρὰ ὑποτύπωσις, βίου τοῦ κρείττονος.

Κειμήλιον ἔμψυχον, χαῖρε Κυρίου τῆς χάριτος· θαυμάτων Μεθόδιε, χαῖρε πηγὴ νοητή· χαῖρε Ὅσιε, Χριστοῦ ἡγιασμένε, ὁ πᾶσαν χαμαίζηλον, πατήσας ἔννοιαν.

Θεοτοκίον.

Κυρία τῆς κτίσεως, χαῖρε ἁγνὴ ἀειπάρθενε· Ἀγγέλων βασίλισσα, χαῖρε Παρθένε σεμνή· χαῖρε Δέσποινα, θεόνυμφε Μαρία, Χριστὸν τὸν φιλάνθρωπον, φρικτῶς κυήσασα.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Κανὼν πρῶτος. Ὠδὴ γ'. Δυνάμει τοῦ Σταυροῦ σου.

Δυνάμει τοῦ τιμίου Σταυροῦ, καταπαλαίσας τὸν ἀντίπαλον, παρὰ Θεοῦ νίκης ἔλαβες, ὦ Μεθόδιε τὸν στέφανον.

Τὸ σπήλαιον οἰκήσας φωτός, Πάτερ θεόφρον ὥσπερ θάλαμον, ἀσκητικῶς τῆς θεώσεως, ὑπεδέξω φῶς τὸ ἄδυτον.

Ναμάτων ζωηρύτων πλησθείς, τοῦ Παρακλήτου ὦ Μεθόδιε, τοῖς εὐσεβῶς σε γεραίρουσιν, ὕδωρ βλύζεις θείας χάριτος.

Θεοτοκίον.

Ὑψόθεν ἐποπτεύειν ἡμᾶς, μὴ διαλίπῃς Μητροπάρθενε, τοὺς εὐλαβῶς τὴν ἀνέκφραστον, μακαρίζοντας λοχείαν σου.

Κανὼν δεύτερος. Ὁ στερεώσας κατ' ἀρχάς.

Χριστομιμήτως ἐπαρκῶν, τοῖς δεομένοις ὦ πάτερ, καὶ συμπάθειαν αὐτοῖς ἐπεδείξω· ἀναφαίρετον πλουτῶν, ἐν οὐρανοῖς θησαύρισμα, ὅπου ἡ σὴ καρδία, ὅλως μετέστης Μεθόδιε.

Οἰκειωθεὶς τῷ πλαστουργῷ, τῇ οὐρανίῳ ἀγάπῃ, καὶ τοῦ κόσμου τῶν τερπνῶν ἀμελήσας, σὺ τοῦ ξύλου τῆς ζωῆς, καὶ τῆς χαρᾶς ἐπέτυχες, τῶν θεουμένων θέσει, ὅσιε πάτερ Μεθόδιε.

www.tezaurliturgic.ro



Ἀποκρουσάμενος στεῤῥῶς, τὴν κοσμικὴν φαντασίαν, καὶ τῆς δόξης τὸ ἐπίκηρον Πάτερ, ἐν τῷ ἔρωτι Θεοῦ, καὶ προσευχῇ σθενούμενος, ἔσχες ἐν τῇ ψυχῇ σου, ἔνοικον χάριν τοῦ Πνεύματος.

Θεοτοκίον.

Σὺ διασῴζεις ἀληθῶς, γένος βροτῶν νεκρωθέντων, καὶ τὴν φύσιν τὴν αὐτῶν πεπτωκυῖαν, ἐξ αἱμάτων σου Ἁγνή, σάρκα λαβὼν ὁ Κύριος, πάντας ἡμᾶς ζωώσας, σῴζει ὡς μόνος φιλάνθρωπος.

Κανὼν τρίτος. Τοὺς σοὺς ὑμνολόγους.

Ἀγγέλων τὸν ζῆλον ὁ πλουτήσας, Μεθόδιε χαῖρε θαυμαστέ· χαῖρε ὅτι ἐμάκρυνας, τῶν σφαλλομένων σχέσεων· χαῖρε Χριστὸν τὸν Κύριον, λαμπρῶς δοξάσας τῷ βίῳ σου.

Ὁ ἄσαρκος χαῖρε ἐν ἀσκήσει, Μεθόδιε Πάτερ ἱερέ· χαῖρε ἄνερ θεόληπτε, καὶ ὄντως θεοφόρητε, ὁ τῆς Ὁσίων κρείττονος, δόξης ἐν πόλῳ συνάριθμος.

Ὁ μύστης ὁσίας πολιτείας, Μεθόδιε χαῖρε θαυμαστέ· χαῖρε Πάτερ ἰσάγγελε, ὁ ἐν φρονήσει ἔνθεος, ὁ τοῦ Χριστοῦ τὴν νέκρωσιν, ἐπιποθήσας ὡς πάνσοφος.

Θεοτοκίον.

Ὑπέραγνε Μῆτερ τοῦ Κυρίου, πανύμνητε χαῖρε Μαριάμ, τὰ κάτω ἡ συνάψασα, τοῖς ἄνω τῇ λοχείᾳ σου· χαῖρε χαρὰν τὴν μένουσαν, τοῖς ἐν τῇ γῇ ἀνατείλασα.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ὁ τῆς Κρήτης νῦν γόνος, ἀνευφημείσθω μοι, τῆς Νηβρύτου τὸ κλέος ἐγκωμιάσθω μοι, τοῦ Χριστοῦ ὁ ἀσκητὴς θεῖος Μεθόδιος, ὅτι θαυμάτων δωρεαῖς, παρὰ Κυρίου δοξασθείς, ὡς ὄντως ἡγιασμένος, λυτροῦται πάσης ἀνάγκης, τοὺς αὐτῷ πόθῳ καταφεύγοντας.

Θεοτοκίον.

Χαῖρε ἄφλεκτε βάτε, καὶ ὄρος ἅγιον· χαῖρε ἡ στάμνος τοῦ μάννα· χαῖρε λυχνία χρυσῆ· χαῖρε ῥάβδος καὶ σκηνή, καὶ θεία τράπεζα· χαῖρε νεφέλη τοῦ φωτός· χαῖρε πύλη νοητή, ἣν ὁ φιλάνθρωπος Λόγος, διῆλθεν Εὐλογημένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Κανὼν πρῶτος. ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Προσεχώρησας σκάμμασιν ἀσκητικοῖς, κόσμου μισήσας τὴν ἀπάτην, καὶ ἐνίκησας τὰ πάθη τῆς σαρκός· ἔνθεν χάριτος, πλήρης ὦ Μεθόδιε γέγονας.

Ἐπειγόμενος Ὅσιε πρὸς τὴν ζωήν, ἔφερες ῥᾷον ἐγκρατείας, τὰ παλαίσματα ὡς ἄσαρκος σοφέ, καὶ ἠξίωσαι, τῶν ἐπουρανίων Μεθόδιε.

Οὐδαμῶς ἐδειλίασας τοῦ δυσμενοῦς, τὰς πολυπλόκους μεθοδείας, ἀλλ' ἀσκήσει καταβέβληκας αὐτόν, δυναμούμενος, ῥώμῃ οὐρανίῳ Μεθόδιε.

Θεοτοκίον.

Ῥυπτικαῖς σου δεήσεσι τοῦ μολυσμοῦ, τῆς ἁμαρτίας κάθαρόν με, ὡς ἡ μόνη καθαρὰ ἐπὶ τῆς γῆς, ἵνα κράζω σοι· χαῖρε ἡ θερμή μου ἀντίληψις.

Κανὼν δεύτερος. Σύ μου ἰσχύς.

Σὺ τῶν παθῶν, Ἅγιε πάντων ἐκράτησας, βίον ἔσχες, ὄντως ἀκηλίδωτον, καὶ πρὸς Θεὸν ὕψωσας σαυτόν, ἔχων πρὸς τὸν πέλας, γνώμην σαφῶς εὐσυμπάθητον· διὸ καὶ ἀνηνέχθης, εἰς περίοπτον ὕψος, ταῖς ἐνθέοις μελέταις Μεθόδιε.

Αἴγλῃ σεπτῇ, ὅσιε Κρήτην κατηύγασας, τῆς ἁγνείας, πάντας τε ὡδήγησας, σαῖς διδαχαῖς, θείαν πρὸς ζωήν, καὶ ταῖς θεωρίαις, ταῖς θείαις ἀναπτερούμενος, σπηλαίῳ ἐνεκλείσθης, ὡς φωστὴρ διαλάμπων, εἰς αἰῶνας Νηβρύτου Μεθόδιε.

Σοὶ ἦν ἰσχύς, Κύριος πάτερ καὶ δύναμις, ἀντιλήπτωρ ὄντως καὶ στερέωμα, καὶ ἐπ' αὐτῷ ἦσθα πεποιθώς, καὶ ψυχῇ ζεούσῃ, τοῦτον θεόφρον ἠγάπησας· διὸ ὡς ἀντιδόσεις, παρὰ τούτου λαμβάνεις, ἐνεργείας θαυμάτων Μεθόδιε.

Θεοτοκίον.

Σῶν ἱκετῶν, Δέσποινα δέησιν πρόσδεξαι, καὶ κινδύνων, πάντας ἐλευθέρωσον, καὶ ἐξ ἐχθρῶν, ῥῦσαι τε ἡμᾶς· σὴν δὲ μεσιτείαν, πλουσίαν ἐπιχορήγησον, τὸν σὸν Υἱὸν καὶ ῥύστην, δυσωποῦσα μὴ παύσῃ· παῤῥησίαν γὰρ ἔχεις Μητρόθεε.

Κανὼν τρίτος. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐγκρατείας ξενηκούστου, θεία χαῖρε ἐπίδοσις· τῆς χαρᾶς ὦ Πάτερ, χαῖρε τῆς μελλούσης προοίμιον· χαῖρε ἠθῶν γεωργὸς φιλοπονώτατος, τῶν τῆς χάριτος, ἄνερ θεόφρον Μεθόδιε.

www.tezaurliturgic.ro

Ὁ διδάσκαλος ὁσίου, βίου χαῖρε Μεθόδιε· χαῖρε ὁ ἐν λόγῳ, Ὅσιε καὶ πράξει ἰσάγγελος· χαῖρε ἐχθροῦ τὴν ὁρμήν, τὴν ψυχολέτειραν, ἱερώτατε, πόνοις κατάξας ἀσκήσεως.

Θεατὴς ἐπουρανίων, χαῖρε Πάτερ ἐλλάμψεων· ἰατὴρ ὁ θεῖος, χαῖρε ψυχικῶν ἀμαυρώσεων· χαῖρε Χριστοῦ τὴν στοργήν, ἐκφαίνων ἅπασι, τοῖς ἐν ὕμνοις σε, ἀνευφημοῦσι Μεθόδιε.

Θεοτοκίον.

Ῥυπωθείσας χαῖρε Μῆτερ, ἡ ψυχὰς ἀποπλύνουσα, ὕδατι ἁγίῳ, τῶν θεοπειθῶν σου δεήσεων· χαῖρε Μαρία, πιστῶν τὸ καταφύγιον, καὶ ἀντίληψις, πάντων ἡμῶν ἀκαταίσχυντος.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι.

Βλαστήσας δι' ἀσκήσεως στάχυας, τῶν ἀρετῶν, διατρέφεις μυστικῶς, σοὺς ὑμνολόγους Μεθόδιε.

Ἀνήγειρας αἰώνιον τρόπαιον, πάτερ ἐν γῇ, τὰς ἐφόδους τῶν παθῶν, ἀναχαιτίσας Μεθόδιε.

Χορεύει νῦν τῇ δόξῃ σου Νήβρυτος, πάτερ λαμπρῶς, ἣν παντοίων δυσχερῶν, εὐχαῖς σου ῥῦσαι Μεθόδιε.

Θεοτοκίον.

Ἱλέωσαι τὸν εὔσπλαγχνον Κύριον, Μῆτερ ἡμῖν· σὺ γὰρ ὡς Μήτηρ αὐτοῦ, ἔχεις τὸ δύνασθαι.

Κανὼν δεύτερος. Ἵνα τί με ἀπώσω.

Ἐν ἀγῶσι καὶ πόνοις, τὸν σὸν βίον ἤνυσας παννύχοις στάσεσι, καὶ ταῖς ἀγρυπνίαις, τῷ Θεῷ συγγινόμενος Ὅσιε· ὅθεν νῦν λαμβάνεις, παρὰ Κυρίου τὰ βραβεῖα, ἐπαξίως Μεθόδιε ἔνδοξε.

Σοῖς ἱδρῶσι καὶ κόποις, καρπὸν τὸν γλυκύτατον ἐδρέψω ἔνδοξε, καὶ θαυμάτων φέγγος, εἰς Κυρίου ἐδέξω τὴν αἴνεσιν· σὺ γὰρ ἀνεδείχθης, τῶν πενομένων καὶ νοσούντων, ἰατρὸς καὶ προστάτης θερμότατος.

Κατανύξει καρδίας, τῶν δακρύων ἔβλυζες κρουνοὺς ἀείποτε, ἐναποτεφροῦντας, τῶν παθῶν τὰς καμίνους Μεθόδιε, καὶ ἀνάγοντάς σε, εἰς ἀναβάσεις θεοφόρε, φωταυγεῖς τῇ δυνάμει τοῦ Πνεύματος.

Θεοτοκίον.

Ἐκ καρδίας Παρθένε, τῶν πιστῶν χορεῖαί σε ὑμνοῦσι πάντοτε, καὶ δοξάζουσί σε, ἀσιγήτως Ἀγγέλων τὰ τάγματα· σὺ γὰρ ἐλυτρώσω, πικροῦ θανάτου τοὺς ἀνθρώπους, τὸν Θεὸν συλλαβοῦσα ἐν μήτρᾳ σου.

Κανὼν τρίτος. Ἐξέστη τὰ σύμπαντα.

Ὁσίας ἀσκήσεως, λαμπτὴρ χαῖρε ὁ ἄδυτος· χαῖρε ὁ λειμὼν τῆς ἀπαθείας· χαῖρε ὁ πλοῦτος, ὁ μὴ κενούμενος, Πάτερ δωρεῶν πνευματικῶν, ὅσιε Μεθόδιε, τῆς Νηβρύτου ἀγλάϊσμα.

Χριστοῦ ὁ δεξάμενος, τὸν πόθον χαῖρε Ὅσιε· χαῖρε ὁ τρεψάμενος τὸ κράτος, τοῦ παλαμναίου, ἀσκητικαῖς ἀγωγαῖς· χαῖρε ὁ νεκρώσας τὴν ἰσχύν, τῶν παθῶν Μεθόδιε, ἀνενδότοις ἀγῶσί σου.

Ἀθλων ὁ μέτοχος, καὶ τῶν Ἁγίων σύσκηνος, χαῖρε ἀσκητὰ πνευματοφόρε· χαῖρε τὸ ῥεῖθρον, τὸ διειδέστατον, Πάτερ ψυχοτρόφου γλυκασμοῦ, ὅσιε Μεθόδιε, μοναζόντων ἐντρύφημα.

Θεοτοκίον.

Ἰάσεων Δέσποινα, Μαρία ὡραιόμορφε, χαῖρε ἡ πηγὴ ἡ ναματώδης· χαῖρε ἡ κρήνη, τῶν θεϊκῶν δωρεῶν· χαῖρε ἀγαθότητος κρουνός· βρύσις χαῖρε Ἄχραντε, οὐρανίας χρηστότητος.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Ἐκύκλωσέ με ἄβυσσος.

Ἐξέστησαν οἱ Ἄγγελοι, ζωῇ σου τῇ ξένῃ Μεθόδιε· αὐτῶν γὰρ ἐν σώματι, τὸν βίον διήνυσας, θερμῶς ποθήσας, τὴν ἐν Ἐδὲμ ἀπόλαυσιν.

Εὐφραίνεται τὸ πνεῦμά σου, θαλάμους εἰς θείους Μεθόδιε· σαρκὸς γὰρ ἐνέκρωσας, τὰ πάθη τοῖς πόνοις σου, τῇ συνεργίᾳ, τῆς χάριτος τοῦ Πνεύματος.

Σοφίας χῦμα ἄνωθεν, πλουτήσας ἀσκήσει Μεθόδιε, διδάσκαλος πάνσοφος, ἀζύγων γεγένησαι, σοῖς ἐναρέτοις, ἔργοις ἀεὶ φθεγγόμενος.

Θεοτοκίον.

Λαμπάδα σε οὐράνιον, καὶ βάτον καὶ πύλην καὶ τράπεζαν, καὶ ὄρος καὶ κλίμακα, σεπτῶς μακαρίζομεν, ἁγνὴ Παρθένε, τῶν εὐσεβῶν στερέωμα.

www.tezaurliturgic.ro



Κανὼν δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Ἐφάνης πάτερ φωστήρ, καὶ σκότους βάθος διέλυσας, ἐκ τῶν ψυχῶν τῶν πιστῶν, καὶ τούτους ἐφώτισας· πρὸς σὲ γὰρ προσέτρεχον, καὶ ταῖς διδαχαῖς σου, τὸν Θεὸν ἡμῶν ἐπέγνωσαν.

Ὡς ἄμπελος ἀληθῶς, πολύφορος καὶ κατάκαρπος, τῆς ἀρετῆς τὸν καρπόν, ὡς βότρυν ἐπέρκασας· διὸ καὶ ἀπείληφας, ἐπαξίως Πάτερ, ἐκ Θεοῦ τῆς δόξης στέφανον.

Ἰλύος ἐκλυτρωθείς, παθῶν ἀτίμων Μεθόδιε, καὶ σὴν ψυχὴν πρὸς Θεόν, ἰθύνας ἐφώτισας, ἐξ οὗ καὶ ἐλλάμψεως, ἀπολαύεις πάτερ, ἐν μεθέξει τῆς θεώσεως.

Θεοτοκίον.

Μητέρα σε τοῦ Θεοῦ, Παρθένον οὖσαν γινώσκομεν, τὴν τῶν χαρίτων πηγήν, καὶ πύλην σωτήριον· εἰς σὲ οὖν ἐλπίζομεν, καὶ δεόμεθά σου, ἐκ κινδύνων πάντας λύτρωσαι.

Κανὼν τρίτος. Τὴν θείαν ταύτην.

Φωτὸς ἐπόπτης ὁ ἔνθεος, τοῦ κόσμου ὑπερόπτης ὁ πάνσοφος, χαῖρε Μεθόδιε· χαῖρε Νηβρύτου ὁ ἔφορος, καὶ τῶν Κρητῶν ἁπάντων, στεῤῥὸν προπύργιον.

Παθῶν ἐκτίλας τὴν ἄκανθαν, ψυχῆς δὲ ὁ νεώσας τὴν ἄρουραν, χαῖρε Μεθόδιε· χαῖρε εἰκὼν ἡ θεόγραφος, ἀσκητικῶν ἀγώνων, ἀειμακάριστε.

Ἀγάπης θείας θησαύρισμα, Πατέρων τῶν ὁσίων διάγραμμα, χαῖρε Μεθόδιε· χαῖρε στολὴν τὴν ὑπέρλαμπρον, ἀθανασίας Πάτερ, ἀμφιεσάμενος.

Θεοτοκίον.

Λαμπὰς ἁγία τῆς χάριτος, ψυχὰς τῶν γηγενῶν ἡ πυρσεύουσα, χαῖρε Θεόνυμφε· χαῖρε Ἁγνὴ ἡλιόμορφε, ἡ τῶν παθῶν τοῦ σκότους, ἡμᾶς ἐξαίρουσα.

Καταβασία. Τὴν θείαν ταύτην.
Κοντάκιον. Ἦχος πλ. α'. Μιμητὴς ὑπάρχων.

Τὰ τῆς γῆς ἡδέα ἀπαρνησάμενος, τοῦ Κυρίου ὀπίσω κατηκολούθησας, καὶ ἀσκήσας ἐν κόσμῳ καθάπερ ἄσαρκος, τοῖς χοροῖς τῶν Ἀγγέλων συνήφθης Ὅσιε, ἐνεργῶν ξενοτρόπως, ἡμῖν νῦν ἐν θαύμασι· διὸ πάντες Μεθόδιε, ὕμνοις σε γεραίρομεν.

Κοντάκιον ἕτερον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Ναὸς ἐγένου καθαρὸς τοῦ Θείου Πνεύματος
τῶν ἐν ἀσκήσει ἀρετῶν τοῖς προτερήμασι,
ὡς ἐπόθεις τὴν ψυχήν σου κατακοσμήσας.
Ὅθεν τύπος μοναζόντων ἀναδέδειξαι,
καὶ πρὸς Κύριον μεσίτης ἀκαταίσχυντος,
τῶν βοώντων σοι· χαίροις πάτερ Μεθόδιε.

Ὁ Οἶκος.

Ἐγκρατείας τοῖς ὅπλοις, κατ' ἐχθρῶν θριαμβεύσας, θεόθεν ἀμοιβὰς ἐκομίσω, καὶ τῶν θαυμάτων τὴν ἰσχύν, δι' ἧς ἀεὶ ἐνεργεῖς τὰ παράδοξα, πρὸς σωτηρίαν Ὅσιε, τῶν πόθῳ σοι βοώντων ταῦτα·
Χαῖρε γηΐνων ὁ ὑπερόπτης·
χαῖρε Ὁσίων ὁ συμπολίτης.
Χαῖρε ὁ βιώσας ἐν κόσμῳ ὡς ἄσαρκος·
χαῖρε ὁ αἰσχύνας ἐχθρὸν παναλάστορα.
Χαῖρε ἄμπελος πολύφορος βιοτῆς ἀσκητικῆς·
χαῖρε δένδρον ὡραιόκλαδον γεωργίας μυστικῆς.
Χαῖρε ὅτι Ἀγγέλων τὴν ζωὴν ἐμιμήσω·
χαῖρε ὅτι τὰ κάλλη τῆς Ἐδὲμ ἐθεάσω.
Χαῖρε τῆς Κρήτης βλάστημα ἔνθεον·
χαῖρε Νηβρύτου καύχημα τίμιον.
Χαῖρε λαμπὰς μοναζόντων φωσφόρος·
χαῖρε φωστὴρ εὐσεβῶν φωτοβόλος.
Χαίροις πάτερ Μεθόδιε.

Μηνολόγιον.

Τῇ ΚΕ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Μεθοδίου, τοῦ ἐν Νηβρύτῳ ἀσκήσαντος.

Στίχοι.

Ἤσχυνας πάσας ἐχθροῦ τὰς μεθοδείας
Πάτερ μεθόδοις ἀσκήσεως τελείας.

Μεθόδιος εἰκάδι πέμπτῃ ἔβην εἰς Θεοῦ ἄστυ.

Συναξάριον.

Οὗτος ὁ μακάριος ὥρμητο ἐκ τῆς Ἐπαρχίας Ῥεθύμνης, τῆς περιωνύμου τῶν Κρητῶν νήσου. Παιδιόθεν τὴν πρὸς τὴν ἀρετὴν ἔφεσιν ἔχων, καταλιπὼν τὰς κοσμικὰς διατριβάς, τὸν τῆς ἀληθοῦς φιλοσοφίας ἐνεδύσατο τρίβωνα. Ἐλθὼν δὲ εἰς τὴν ὕπερθεν τῆς Γορτύνης κειμένην κώμην τῆς Νηβρύτου, ἐν ταῖς ὑπωρείαις τοῦ ὄρους Ἴδη, κατῴκησεν εἰς τὸ μέχρι σήμερον δεικνύμενον σπήλαιον, ἀγωνιζόμενος ἐν νηστείαις, προσευχῇ καὶ ἄκρᾳ σκληραγωγίᾳ. Εἰς τὸ ἀκρότατον δὲ τῶν ἀρετῶν ἐληλακώς, ὠράθη Ἄγγελος μετὰ σώματος. Πλήρης δὲ ἡμερῶν γενόμενος καὶ τοῖς θαύμασι πάντας

www.tezaurliturgic.ro



καταπλήξας, ἐξεδήμησεν πρὸς Κύριον, ὃν παιδιόθεν ἐπόθησε.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ὁ καμίνῳ πυρός.

Οἷα πηγὴ νοητή, ῥεῖθρα Μεθόδιε θαυμάτων, ἀεὶ πηγάζεις ἡμῖν, σοῖς ὑμνηταῖς συμπαθῶς.

Χαίροις θεράπων Χριστοῦ, κλέος Μεθόδιε τῆς Κρήτης, ἣν περιφρουρεῖ ἀεί, σαῖς πρὸς Θεὸν προσευχαῖς.

Θείου ἐπλήσθης φωτός, τὸν νοῦν Μεθόδιε καθάρας, σαῖς ἀνενδότοις εὐχαῖς, πρὸς τὸ ἀνέσπερον φῶς.

Θεοτοκίον.

Ὁ ἐκ Παρθένου τεχθείς, πρὸς σωτηρίαν τῶν ἀνθρώπων, εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Κανὼν δεύτερος. Θεοῦ συγκατάβασιν.

Ἐν πᾶσι γενόμενος, υἱὸς φωτὸς καὶ ἡμέρας Πάτερ τρανῶς, συμπαθὴς δεομένοις καὶ ταπεινὸς τῇ καρδίᾳ ὡς ἀληθῶς, ὑπομονὴν καρτερίαν τε ἔσχηκας, τὸ ἦθος ὄντως χρηστὸς καὶ τῷ Θεῷ ἐκλεκτός.

Τὰ ἄνω βασίλεια, τὴν ἄνω πόλιν καὶ τὴν γνησίαν τρυφήν, καὶ τὸν ἄσυλον ὄλβον καὶ τὴν δικαίων ἀπόλαυσιν ἐν Χριστῷ, ἐπιποθῶν ἰσχυρῶς τούτων ἔτυχες, παρακαλῶν τὸν Θεόν, τὸν τῶν καλῶν χορηγόν.

Ἱκέτευε ἔνδοξε, ἀεὶ τὸν Κύριον ὑπὲρ πάντων πιστῶν, ἐξαιρέτως δὲ Κρήτην τῇ σῇ προνοίᾳ περιφρουρῶν, πατρικῶς μὴ διαλίπῃς Νηβρύτου Μεθόδιε, ὡς πρεσβευτὴς ἀληθής, καὶ τῶν θαυμάτων πηγή.

Θεοτοκίον.

Θεὸν σὺ ἐβάστασας, ταῖς σαῖς ὠλέναις ὡς ὄντως Μήτηρ αὐτοῦ· διὸ τούτῳ πρεσβεύειν ὡς σῷ Υἱῷ καὶ Θεῷ, μὴ παύσῃ Ἁγνὴ καὶ τοὺς ἐκ πόθου ὑμνοῦντάς σε φύλαττε· σὺ γὰρ ὑπάρχεις λιμήν, καὶ προστασία πιστῶν.

Κανὼν τρίτος. Οὐκ ἐλάτρευσαν.

Χαῖρε Ὅσιε, Χριστῷ ὁ τῇ ἀσκήσει σου, τῇ ὑπὲρ ἄνθρωπον, οἰκειωθεὶς ἀληθῶς· Σατὰν χαῖρε ἅπασαν, αἰσχύνας μέθοδον· χαῖρε κρείττονος, εὐκλείας ὦ Μεθόδιε, μετασχὼν ἐν τοῖς ὑψίστοις.

Ὁ θεόληπτος, τῶν μοναζόντων πρόβολος, χαῖρε Μεθόδιε· χαῖρε ὁ φίλος Χριστοῦ, ἐν γῇ ὡς ἀσώματος, ἀγωνισάμενος· χαῖρε χάριτος, ἀσκητικῆς γλυκύτατος, βότρυς Πάτερ θεοφόρε.

Ὁ νοῦς Ὅσιε, ὁ φωτισμοῦ ἀνάπλεως, χαῖρε τοῦ Πνεύματος· ἀσκητικῆς βιοτῆς, ὁ τύπος Μεθόδιε, ὁ θεοτύπωτος, χαῖρε ἔνδοξε, ὁ τῇ ζωῇ ἀσώματος, καὶ οὐράνιος τοῖς ἔργοις.

Θεοτοκίον.

Λόγων Δέσποινα, τῶν ἱερῶν ὑπόθεσις, χαῖρε Πανάχραντε· χαῖρε ψυχῶν εὐλαβῶν, σεπτὸν ἀδολέσχημα, θεοχαρίτωτε· χαῖρε Πάναγνε, γλυκύτατον ἐντρύφημα, τοῦ λαοῦ τοῦ χριστωνύμου.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.

Τὸν ἐν Νηβρύτῳ ὁσίως, βιοτεύσαντα Χριστοῦ ἀσκητήν, τὸν δοξασθέντα θαυμάτων δωρεαῖς, ἀνευφημήσωμεν, εὐλαβῶς βοῶντες· θεόφρον Πάτερ χαῖρε, ὁ φίλος τοῦ Κυρίου.

Ἐνδεδυμένος θεόθεν, σθένος ἄμαχον στεῤῥῷ λογισμῷ, τῆς ἐγκρατείας θεόφρον, τὸ ἐπίπονον ὑπέμεινας· ἔνθεν μετὰ πότμον, Μεθόδιε ἀπόνου, μετέσχες εὐφροσύνης.

Μετ᾿ εὐλαβείας καὶ πόθου, καταφεύγοντες ναῷ σου τῷ σεπτῷ, καὶ ἀσπαζόμενοι Πάτερ, τῶν λειψάνων σου τὴν θήκην πιστῶς, δωρεῶν τρυφῶμεν, τῆς θείας χάριτός σου, Μεθόδιε παμμάκαρ.

Θεοτοκίον

Ὕμνοις ἀεὶ σε τιμῶμεν, τὴν κυήσασα φρικτῶς τὸν Θεόν, τὸν τῆς κατάρας τὸ γένος, διασώσαντα Παρθένε ἡμῶν, χαῖρε ἐκβοῶντες, ἡ Κεχαριτωμένη, καὶ μόνη Θεοτόκος.

Κανὼν δεύτερος. Ἑπταπλασίως κάμινον.

Ἐλευθεροῖς αἰχμάλωτον, παῖδα ὅνπερ ἐδούλωσαν, βαρβάρων τὰ στίφη, συμπαθῶς λυτρούμενος· πενήτων δὲ πρόνοιαν, χριστομιμήτως ὄντως λαβών, τοὺς μετανοοῦντας, σὺ σαφῶς ἐπηνώρθου, πιστούς τε κατευθύνων, διδαχαῖς εὐσεβείας, Μεθό-

www.tezaurliturgic.ro



διε παμμάκαρ, εἰς τρίβους ἀληθείας.

Σὸν ῥωμαλέον φρόνημα, τὴν ὁδὸν τῆς ἀσκήσεως, μετὰ προθυμίας, διανύσαι ἤγαγε· δυνάμει δὲ ἄνωθεν, σὺ πτερωθεὶς ηὐγάσθης σοφέ, καὶ λαμπροφορῶν, εἰς φωτὸς νυμφῶνα εἰσῆλθες, Ἀγγέλων ἔνθα τάξεις, τρισαγίοις ἐν ὕμνοις, Τριάδα ἀνυμνοῦσιν, ἀλλήκτως εἰς αἰῶνας.

Πολλαπλασίως τάλαντον, ὅπερ ἔλαβες ηὔξησας, καὶ σοφίᾳ θείᾳ, ἐμφανῶς κοσμούμενος, ἐκτήσω ταπείνωσιν, ὑψοποιὸν καὶ ὑπεριδών, τῶν κόσμου τερπνῶν, τῷ Λυτρωτῇ ἀνεβόας· σὲ Κύριε ὑμνοῦμεν, τὸν ἡμῖν παρασχόντα, ζωὴν καὶ σωτηρίαν, τοῖς πρὶν ἀπολλυμένοις.

Θεοτοκίον.

Ἐθελουσίως Δέσποινα, τοῦ Θεοῦ γενομένην σε, ἀῤῥήτως Μητέρα, οἱ βροτοὶ δοξάζομεν· σὺ οὖν μεσιτεύουσα, ἐν συμπαθείᾳ ἀεὶ Ἁγνή, πρὸς τὸν σὸν Υἱόν, παρισταμένη μὴ παύσῃ, ὑπὲρ παντὸς τοῦ κόσμου, καὶ ψυχῶν θλιβομένων, καὶ καταπονουμένων, σοὶ δὲ προσερχομένων.

Κανὼν τρίτος. Παῖδας εὐαγεῖς.

Χαῖρε ὁ ὑμνῶν ἐν τοῖς ὑψίστοις, θεόφρον τὸν Βασιλέα τῶν δυνάμεων· χαῖρε κατὰ μέθεξιν, θεϊκὴν θεούμενος· χαῖρε ὁ βλέπων Ὅσιε, Θεοῦ τὸ πρόσωπον, αὐγὴν ὁ κατοπτεύων τὴν θείαν· χαῖρε στεφανῖτα, στεφάνῳ ἀφθαρσίας.

Κλέος ἱερὸν τῆς Ἐκκλησίας, Μεθόδιε χαῖρε θεοδόξαστε· χαῖρε ἐγκαλλώπισμα, Κρήτης τῆς πατρίδος σου· χαῖρε ἠθῶν γεώργιον, ζωῆς τῆς κρείττονος, πασῶν τε ἀρετῶν συστοιχία· χαῖρε ὁ μεσίτης, ἡμῶν πρὸς τὸν Δεσπότην.

Χαῖρε ἀμοιβῶν ἐπουρανίων, ἐν πόλῳ ἀξιωθεὶς πάτερ Μεθόδιε· χαῖρε ὁ τοῖς θαύμασι, ἐνεργῶν τρανότατα· χαῖρε ἡμῶν ἰώμενος, τὰ ἄλγη πάντοτε, κινδύνων τε πιστοὺς διασῴζων· χαῖρε ὁ Βελίαρ, ἐκτρέπων τὴν μανίαν.

Θεοτοκίον.

Ὄμβροις θεϊκῆς σου εὐσπλαγχνίας, κατάρδευσον Θεοτόκε τὴν καρδίαν μου, ἵν᾽ ἀνακραυγάζω σοι· χαῖρε Ἀειπάρθενε, Μαρία θεονύμφευτε, ἡ κοσμοσώτειρα· πιστῶν χαῖρε ἁπάντων ἡ μήτηρ· χαῖρε τῆς ζωῆς μου, παράκλησις ἁγία.

Καταβασία. Παῖδας εὐαγεῖς.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Σὲ τὴν ὑπὲρ νοῦν.

Σὲ τὸν φαεινὸν φωστῆρα, τῆς Κρήτης σοφέ, τὸν καμάτοις ἀσκήσεως, φαιδρῶς ἀνατείλαντα, οἱ πιστοὶ μακαρίζομεν Μεθόδιε.

Ὅλην σὴν ζωὴν προσῆξας, Χριστῷ τῷ Θεῷ, ὡς θυμίαμα εὔοσμον, θεόφρον Μεθόδιε· διὰ τοῦτο, αὐτῷ συμβασιλεύεις νῦν.

Νῦν ἐν οὐρανοῖς μετέχων, τῆς θείας τρυφῆς, καὶ τοῦ ξύλου γευόμενος, ζωῆς τῆς ἀμείνονος, ἡμῶν πάντων Μεθόδιε μνημόνευε.

Θεοτοκίον.

Κλῖμαξ νοητὴ Παρθένε, ἐδείχθης δι᾽ ἧς, κατελθὼν ὁ παντέλειος, Ἀδὰμ τὸν ἔκπτωτον, πρὸς τὴν πρώτην, ἀνύψωσεν εὐπρέπειαν.

Κανὼν δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Νηβρύτου τὸν φωστῆρα τὸν φαεινόν, καὶ Κρητῶν ἀντιλήπτορα μέγιστον, ἐν τῷ ναῷ, τούτου συνελθόντες χρεωστικῶς, πάντες ᾠδαῖς καὶ ᾄσμασι, συνεγκωμιάσωμεν εὐλαβῶς· αὐτὸς γὰρ ἡμᾶς σκέπει, φρουρῶν καὶ περισῴζων, ἐκ τῶν κινδύνων καὶ τῶν θλίψεων.

Ἐργάτης τοῦ Κυρίου τῶν ἐντολῶν, ἀνεπαίσχυντος ὤφθης Μεθόδιε, καὶ σὴ ζωή, γέγονεν ἐν πᾶσι φωτοειδής, καὶ φωτοφόρος Ὅσιε, ἀκτῖνας ἐκπέμπουσα τηλαυγεῖς· διό σε ἐπαξίως, τιμῶμεν καὶ ὑμνοῦμεν, ἐπὶ σῇ μνήμῃ σεμνυνόμενοι.

Δυνάμει τε καὶ χάριτι τοῦ Θεοῦ, σκεπασθεὶς ἀνεδείχθης Μεθόδιε, ὡς ἀληθῶς, μέγας εὐσεβείας καθηγητής, καὶ τῶν θαυμάτων γέγονας, μὴ ἐξαντλουμένη θεία πηγή· νοσοῦντας θεραπεύων, στηρίζων κλονουμένους, καὶ ἐπαρκῶν πένησιν ἔνδοξε.

Θεοτοκίον.

Ἐξέστησαν Ἀγγέλων αἱ στρατιαί, ὑπεράνω αὐτῶν κατοπτεύουσαι, σὲ τὴν ἁγνήν, Δέσποινα τὴν τόκῳ σου τῶν βροτῶν, λυτρωσαμένην ἄθλιον, γένος ἅπαν πρότερον δουλωθέν· διό σε Θεομῆτορ, Ἀγγέλων καὶ ἀνθρώπων, χορεῖαι ὕμνοις μεγαλύνουσι.

Κανὼν τρίτος. Ἅπας γηγενής.

Χαῖρε ἀληθῶς, δι᾽ οὗ ὁ φιλάνθρωπος, Χριστὸς δοξάζεται· χαῖρε ὦ Μεθόδιε, δι᾽ οὗ σοβεῖται,

www.tezaurliturgic.ro

ἐχθρὸς ὁ κάκιστος· χαῖρε δι᾿ οὗ ἐλαύνονται, πάθη δυσίατα, καὶ δόσεις πρυτανεύονται θεῖαι, τοῖς προσερχομένοις, πιστῶς τοῖς σοῖς λειψάνοις.

Χαῖρε τοῦ Χριστοῦ, ὀσφράδιον τίμιον, πάτερ Μεθόδιε· χαῖρε πολυσύνθετον, ἁγιωσύνης, μύρον μακάριε· χαῖρε τὸ θεοδώρητον, κλέος τῆς νήσου σου, Νηβρύτου ἐνθεώτατον ἕρκος· χαῖρε ὁ εὐφραίνων, ἡμᾶς τοῖς θαύμασί σου.

Κάλλος μυστικῶς, Χριστοῦ τὸ ἀμήχανον, Πάτερ θεώμενος, καὶ τῆς ὑπὲρ ἔννοιαν, λαμπρῶς μετέχων μακαριότητος, τὸ πενιχρόν μου ὅσιε, δέξαι ἐφύμνιον, βραβεύων μοι πλουσίως σὴν χάριν, δι᾿ ἧς ὑπεκφαίνεις, ἣν εὗρες θείαν δόξαν.

Θεοτοκίον.

Ὕψιστον Θεόν, φρικτῶς ἡ κυήσασα, χαῖρε Θεόνυμφε· χαῖρε τῆς Προμήτορος, Ἁγνὴ τὴν λύπην ἡ καταργήσασα· χαῖρε ἡ τὸ ἀνθρώπινον, γένος δι᾿ ἔλεος, πικρᾶς τε ῥυσαμένη ἀπάτης· μὴ οὖν με στερήσῃς, Παρθένε τῆς στοργῆς σου.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν ὁρώντων σε.

Τῆς ἐγκρατείας ὤφθης ἔμψυχον σκεῦος, καὶ στάθμη ἡσυχίας ἀκριβεστάτη· ἔνθεν ἐν ὑψίστοις ἐκοινώνησας, ζωῆς τῆς ὑπὲρ ἔννοιαν, πάτερ Μεθόδιε θεῖε, τῶν μοναζόντων ἀκρότης.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Μεθόδιε οὐράνιε, Νηβρύτου ἐγκαλλώπισμα, ὁ κατ᾿ ἐχθρῶν ἐν τῇ Κρήτῃ, τρόπαιον νίκης ἐγείρας, ἀπαύστως καθικέτευε, τὸν ἐν Τριάδι Κύριον, ἵνα ἡμῖν δωρήσηται, ὡς ἐλεήμων πταισμάτων, ἀπειραρίθμων τὴν λύσιν.

Θεοτοκίον.

Τεκοῦσα τὸν Ἀσώματον, ἐν ἀνθρωπίνῳ σώματι, δι᾿ εὐσπλαγχνίαν Παρθένε, καὶ ἀγαθότητα ἄκραν, τῇ οἰκουμένῃ πρόξενος, πολλῶν καλῶν γεγένησαι· διό σε μακαρίζομεν, καὶ τοῦ Ἀγγέλου τὸ Χαῖρε, βοῶμέν σοι Θεοτόκε.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Δεῦτε συστησώμεθα, πνευματικὴν νῦν χορείαν, συνελθόντες σήμερον, ἐν τῇ μνήμῃ χαίροντες, τοῦ παμμάκαρος· καὶ φαιδροῖς ᾄσμασι, σὺν τερπνοῖς ἐπαίνοις, αὐτὸν πόθῳ καταστέψωμεν, ἀνακραυγάζοντες· χαίροις θεοφόρε Μεθόδιε, μεθόδοις τῆς ἀσκήσεως, ὁ ὑπεραστράψας ὡς ἥλιος, καὶ καταπυρσεύων, ἀκτῖσι τῶν πολλῶν σου ἀρετῶν, καὶ τῶν θαυμάτων λαμπρότησι, τοὺς ἀνευφημοῦντάς σε.

Γνώμῃ οὐρανόφρονι, τὰς κοσμικὰς ἀπολαύσεις, ὅσιε Μεθόδιε, ὁλικῶς κατέλιπες, ὡς θεόσοφος· καὶ τοῦ Κυρίου σου, τὸν ζυγὸν ἐπ᾿ ὤμων, τὸν χρηστότατον ἀράμενος, τρίβον ἐβάδισας, τὴν ὑπερφυῆ τῆς ἀσκήσεως, πρὸς πλάτος ἐπειγόμενος, τῆς τῶν ἀγαθῶν ἀπολαύσεως· ἐν ᾧ καταπαύσας, ὁσίως ἀναλύσας τῶν φθαρτῶν, ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον, ἐκδυσώπει πάντοτε.

Ἄνθη συλλεξάμενος, τῶν ἀρετῶν τὰ εὐώδη, συντονίᾳ κρείττονι, εὐωδία γέγονας, τοῦ Παντάνακτος· καὶ ὡς θυμίαμα, αὐτῷ προσηνέχθης, εὐωδέστατον Μεθόδιε, τήξας τὸ σῶμά σου, τοῖς ἀσκητικοῖς ἀγωνίσμασι, ἐν οἷς ὡράθης Ἄγγελος, πάτερ ἐπὶ γῆς μετὰ σώματος. Ὅθεν εὐωδίᾳ, τῆς χάριτός σου πλῆσον τὰς ψυχάς, τῶν ἐκτελούντων τὴν μνήμην σου, τὴν κοσμοχαρμόσυνον.

Ἡ Κρήτη σεμνύνεται, πανευπρεπῶς σοῖς σπαργάνοις, καὶ λαμπρῶς ἡ Νήβρυτος, γάνυται ὡς ἔχουσα, πολιοῦχόν σε· σὺ γὰρ Μεθόδιε, δι᾿ ὁσίου βίου, ἐφετῶν φθάσας τὸ ἔσχατον, ἐκληρονόμησας, τὰ τοῖς ἐκλεκτοῖς ἀποκείμενα, καὶ ἔνδον τῆς θεώσεως, τοῦ ἀδύτου φέγγους γεγένησαι. Ὅθεν ὥσπερ κρήνη, ἡ θήκη τῶν λειψάνων σου ἀεί, χάριν πηγάζει οὐράνιον, τοῖς πιστῶς προστρέχουσι.

Δόξα Πατρί. Ἦχος πλ. δ'.

Τὸν τοῦ Χριστοῦ ἀσκητήν, καὶ τῇ προαιρέσει μάρτυρα στεῤῥόν, τὸν ἐν Νηβρύτῳ ὁσίως ἀσκήσαντα, καὶ διὰ τῆς ἀναβάσεως τῶν ἀρετῶν, ὄρεσιν αἰωνίοις ἐγγίσαντα, Μεθόδιον τὸν ἔνδοξον, καὶ ἐν θαύμασι μέγιστον, ὑμνῳδιῶν τερπνοῖς στεφάνοις, οἱ εὐσεβεῖς στεφανώσωμεν σήμερον. Οὗτος γὰρ ὁ ἐξάκουστος, τῶν ἐν κόσμῳ κατανοήσας τὸ ἄστατον, ἐν ἐρημίαις δαυϊτικῶς ηὐλίσθη φυγαδεύων· καὶ καμάτοις ἀσκήσεως, τῆς σαρκὸς νεκρώσας τὸ φρόνημα, τὴν ψυχὴν πρὸς οὐρανὸν ἀνεπτέρωσε, καὶ ἔνδον τῆς ζωῆς τοῦ νυμφῶνος ἐγένετο, ἔνθα τῶν Δικαίων ἀγάλλονται τὰ πνεύματα. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· ὦ τρισμακαριώτατε Πάτερ, τῆς Κρήτης βλαστὸς ὁ ἀμάραντος, τὴν ἐνεγκαμένην σε ἀπὸ κινδύνων διάσωζε, καὶ φύλαττε ἀσινεῖς ἐκ θλίψεως, τοὺς ἀνακειμένους τῇ πρεσβείᾳ σου.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ' καὶ στ' ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ιζ' Ἰανουαρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις τῆς Νηβρύτου κλέος σεπτόν, Μεθόδιε πάτερ, καὶ τῆς Κρήτης αὖχος λαμπρόν· χαίροις ὁ ἀσκήσας, ὡς ἄσαρκος ἐν κόσμῳ, καὶ μετ' Ἀγγέλων ἔχων, νῦν τὸ πολίτευμα.

Ἕτερον.

Βίον τῶν Ὁσίων πολιτευθείς, λιπὼν ὡς ἐχέφρων, ἀπολαύσεις τὰς κοσμικάς, χαίρων ἐν ὑψίστοις, Μεθόδιε εὐφραίνῃ, ἡμῖν ἀναπηγάζων, χάριν ἀείζωον.

*Δίστιχον.*

*Κύριλλος Μεθόδιε ἀνύμνησέ σε*
*Βίου ὡς παράδειγμα ἐνθεωτάτου.*

*Ἕτερον.*

*Ἄσβεστε φωστὴρ Μεθόδιε Νηβρύτου*
*Δημήτριον φώτιζέ σε ἀνυμνοῦντα.*

